Ξαν. Ὁ τῶν πανούργων; Αἰα. νὴ Δί' οὐράνιόν γ' ὅσον.
Εαν. Μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;
Αἰα. Ὀλίγον τὸ χρηστόν ἐστιν ὥσπερ ἐνθάδε.
Ξαν. Τί δῆθ' ὁ Πλούτων δρᾶν παρασκευάζεται;
Αἰα. Ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν.
Κἄλεγχον αὐτῶν τῆς τέχνης. Ξαν. κᾆπειτα, πῶς
Οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
Αἰα. Μὰ Δί' οὐκ ἐκεῖνος. ἀλλ' ἔκυσε μὲν Αἰσχύλον
Ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν.
Κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.
Νυνὶ δ' ἔμελλεν ὡς ἔφη Κλειδημίδης,
Ἔφεδρος καθεδεῖσθαι. κἂν μὲν Αἰσχύλος κρατῇ,
Ἕξειν κατὰ χώραν. εἰ δὲ μή, περὶ τῆς τέχνης
Διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.
Ξαν. Τί χρῆμ' ἄρ' ἔσται. Αἰα. νὴ Δί' ὀλίγον ὕστερον,
Κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
Καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.
Ξαν. Τί δέ, μειαγωγήσουσι τὴν τραγῳδίαν;
Αἰα. Καὶ κανόνας ἐξοίσουσι, καὶ πήχεις ἐπῶν.
Καὶ πλαίσια ξύμπηκτα πλινθεύσουσί γε.
Καὶ διαμέτρους. καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
Κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας.
Ξαν. Ἦπου βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.
Αἰα. Ἔβλεψεν οὖν ταυρηδὸν ἐγκύψας κάτω.
Ξαν. Κρινεῖ δὲ δὴ τίς ταῦτα; Αἰα. τοῦτ' ἦν δύσκολον.
Σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν ηὑρισκέτην.
Οὔτε γὰρ Ἀθηναίοισι συνέβαινεν Αἰσχύλος.
Ξαν. Πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
Αἰα. Λῆρόν τε τἄλλ' ἡγεῖτο, τοῦ γνῶναι πέρι
Φύσεις ποιητῶν. εἶτα τῷ σῷ δεσπότῃ
Ἐπέτρεψαν, ὅτι τῆς τέχνης ἔμπειρος ἦν.
Ἀλλ' εἰσίωμεν, ὡς ὅταν γ' οἱ δεσπόται
Ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.

A XA. *Hominem verſutum.* ÆA. *ita, per ſummum Iouem admodum.*
XA. *Sed nulli erant commilitones cū Æſchylo?*
ÆA. *Pauci quippe boni ſunt: ſicut & hoc in loco.*
XA. *Quid Pluto adornat?* ÆA. *certamen Poëticum*
Inſtituit: vt eruditè contendant, & ſuæ
Quiſque artis ſpecimen edat. XA. *ſed, cur non eam*
B *Sedē occupauit Sophocles, proximus Æſchylo?*
ÆA. *Non herculè. Sed Æſchylum ille oſculatus eſt,*
Quando huc deuenit, & iniecit ei dexteram:
Ille tamen vltrò cedebat Sophocli locum:
Nunc quidē aderit, vt mihi retulit Clidemides,
Spectator aſſeſſurus: & ſi vincat Æſchylus,
Nihil tentaturus, ſin minus, pro gloria
C *Artis certaturum aiebat, cum Euripide.*
XA. *Quid ergo erit negotij?* ÆA. *paulò pòſt grauis*
Mehercle tractabitur hîc controuerſia:
Nam Muſica ars in trutina examinabitur.
XA. *Quid? an illi ponderabunt hîc Tragœdiā?*
ÆA. *Cubitos & regulas depromente carminū,*
Et quadrata ita ſtruent, vt coëant: & quaſi
D *Coagmententur: item diametros extruent*
Et cuneos: quoniam Euripides ſe dictitat
Ad numerum contorquere ſuas Tragœdias.
XA. *Certè hoc ego grauiter ferre arbitror Æſchylum.*
ÆA. *Ideo humū contuens, taurinis videt oculis.*
XA. *Quis autem erit arbiter?* ÆA. *difficile iſtuc erat.*
Nam ſapientum virorum magna eſt inopia,
E *Neque enim obtingebat Æſchylus Atheniēſibus.*
XA. *Fortaſſe multos perfoſſores parietum*
Cenſebat ex ijs. ÆA. *imò illos friuolos,*
Et ineptos eſſe ducebat, qui Poëtica
Dignoſcerent ingenia: ac proin' hero tuo
Rem commiſerunt, quòd & ipſe artem calleat.
Sed ingrediamur, vt ſi fortè noſtri heri
Properauerint, nobis verbera parata ſint.

Σχόλια. Οὐράνιον γ' ὅσον.] ἀντὶ τοῦ πολύ. καὶ μεγάλως ἐβόησαν. Ὀλίγον τὸ χρηστόν ἐστι.] δείκνυσιν ὡς πρὸς τὸ θέατρον. μιγνύει δὲ τὰ ἐνθάδε τοῖς ἐκεῖ. νῦν γὰρ οὐ καθ' ᾅδου φησίν. Κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.] Καλλίστρατος. οὐχ ὡς παραδεδωκότος Αἰσχύλου τὸν θρόνον, ἀλλ' ὡς παραδεδεγμένου αὐτὸν καὶ ὑποκεχωρηκότος. Κλειδημίδης.] Καλλίστρατος, ὅτι ἴσως Σοφοκλέους υἱὸς οὗτος. Ἀπολλώνιος δέ, ὅτι Σοφοκλέους ὑποκριτής. τοῦτο δὲ πόθεν, σκέψασθε. διαβάλλει δὲ καὶ Κλειδημίδην ὡς κακόξενον. τινὲς δὲ τὸ νυνὶ δ' ἔμελλε τοῦ Κλειδημίδου φασὶν εἶναι. ἔφεδρος δὲ ὁ μὴ πλανώμενος ἐν τοῖς ἀγῶσιν εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. καὶ Σοφοκλῆς. καί μοι δυσθεράπευτος Αἴας ξυνὼν ἔφεδρος. ἤγουν ἔσχατος καὶ ὡς ἔφεδρος ἐλήφθη μοι Αἴας εἰς κακόν. Ἕξειν κατὰ χώραν.] ἀντὶ τοῦ ἐάσειν οὕτως, ὡς εὗρεν Αἰσχύλον καθέζεσθαι. Μειαγωγήσουσι τὴν τραγῳδίαν.] μεῖον λέγουσι, τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ ἀπατούρια οἷς ὑπὸ τῶν πατέρων εἰς

F φερομένους διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον. μεῖον. ὅτι δὲ ἵσταντο, Ἀριστοφάνης ἐν δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον, ἀπὸ τῶν κούρων, ὑπὲρ ὧν ἐθύετο. μεῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοκτο, καθάπερ αὐτός φησιν Ἀριστοφάνης. ἀλλ' εὔχομαι ἔγωγε ἑλκύσαι σε τὸν σφυγμόν, ἵνα μή με προσπράττωσι χρυσοῦ οἱ φράτορες. μειαγωγὸς δὲ ἐλέγετο, ὁ προσαγαγὼν τὸ ἱερεῖον. ὅτι μεῖον τὸ ἱερεῖον ἔλεγον, τὸ παριστάμενον ὑπὲρ τῶν εἰς τοὺς φράτορας ἐκφερομένων. μεῖον δὲ ἐκλήθη ἀπὸ τοῦ συμ- G βαίνοντος. ἔδει γὰρ αὐτό, ἔλαττον ἔχειν σταθμοῦ τινος ἀπὸ τοῦ ὡρισμένου διὰ τοὺς φιλοδοξοῦντας. οἱ δὲ φράτορες ἵνα μείζους νέμωνται μερίδας, ἐπεφώνουν οὐκ ἐῶντες ἱστᾶναι, διὰ τὸ μεῖόν ἐστιν. ἄλλως. ἐάν τις εἰσάγῃ εἰς τοὺς ἰδίους φράτορας υἱὸν ἐν ἡλικίᾳ γενόμενον, παρίστασα αὐτοῖς ἐπὶ ὡρισμένῳ σταθμῷ ἱερεῖον. πρὸς ὃν ἔδει προσάγειν. καὶ οὐκ ἐξῆν μεῖον παρέχειν. ὅτε δὲ ἐνλεθείη τὸ ἱερεῖον εἰς τὸν ζυ-